# TEZAUR LITURGIC

## 10 APRILIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

## SF.IERARH-MUCENIC

# GRIGORIE V ANGHELOPOULOS,

## PATRIARHUL CONSTANTINOPOLULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 ΑΠΡΙΛΙΟΥ
# ΓΡΗΓΟΡΙΟΥ Ε΄ΙΕΡΟΜΑΡΤΥΡΟΣ
# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν στίχους δ’ και ψάλλομεν τα εξής Προσόμοια του Αγίου.

Ήχος α’ . Των ουρανίων ταγμάτων.

Εν τη του έαρος ώρα συνευφραινόμενοι, οι ορθόδοξοι δεύτε, εορτάσωμεν πόθω, του θείου Γρηγορίου την ιεράν, και σεπτήν μνήμην σήμερον· υπέρ ημών γαρ τον θάνατον ανδρικώς, ως καλός ποιμήν υπέμεινε.

Ιεραρχίας εμπρέπων Πάτερ τη χάριτι, και του Χριστού βαστάζων, τον Σταυρόν θεοφρόνως, ουδόλως επτοήθης των δυσσεβών, την μανίαν Γρηγόριε, άλλ’ απτοήτως προέκρινας το θανείν, των προβάτων σου κηδόμενος.

Τον δι’ αγχόνης ανδρείως υπέστης θάνατον, Γρηγόριε τρισμάκαρ, εναθλήσας νομίμως· εντεύθέν σου το σώμα ως θησαυρόν, της του Πνεύματος χάριτος, η Οδησσός υποδέδεκται ευλαβώς, ευφημούσά σου την άθλησιν.

Αγαλλιάται και χαίρει η Εκκλησία του Χριστού, Γρηγόριε θεόφρον, τη στερρά σου αθλήσει, και πόλις Αθηναίων τη ση σορώ,

μυστικώς αγιάζεται. Αλλά μη παύση εκτρέπων τα καθ' ημών, των εχθρών Πάτερ βουλεύματα.

Δόξα. Ήχος α'.

Ιερατεύσας οσίως, της Εκκλησίας προέστης, εκλογή τη άνωθεν, επαξίως Γρηγόριε˙ και τω νόμω Κυρίου, εν σοφία αληθεί, κατευθύνων τον περιούσιον λαόν, υπέρ αυτού προθύμως τέθνηκας, τον Σωτήρα μιμούμενος. Και νυν της βασιλείας αυτού, τω φωτί αυγαζόμενος, πρέσβευε υπέρ ημών, Ιερομάρτυς παναοίδιμε.

Και νυν. Θεοτοκίον.

Αμαρτωλών τας δεήσεις προσδεχομένη, και θλιβομένων στεναγμόν μη παρορώσα πρέσβευε τω εξ αγνών λαγόνων σου, σωθήναι ημάς Παναγία Παρθένε.

Απόστιχα. Ήχος β'. Οίκος του Εφραθά.

Ήθλησας ιερώς, υπέρ των σων προβάτων, δεινώς θανατουμένων, βαρβαρική μανία, Γρηγόριε Πατήρ ημών.

Στίχ. Το στόμα μου λαλήσει σοφίαν...

Χάριν ομολογεί, λαός των ορθοδόξων, τη ση θυσία Πάτερ˙ ότι μακροχρονίου, δουλείας ηλευθέρωται.

Στίχ. οι ιερείς σου Κύριε ενδύσονται...

Άνωθεν εφορών και σκέπων και διέπων, προς τρίβους της ειρήνης, την σοι λαλούσαν ποίμνην, μη παύση Ιερώτατε.

Δόξα. Τριαδικόν.

Μίαν σε εν τρισί, Θεότητα προσώποις, Τριάς υπεραγία, Γρηγόριος δοξάζων, τη πίστει σου ενήθλησε.

Και νυν. Θεοτοκίον.

Χαίρε η την χαράν κυήσασα τω κόσμω, Χριστόν τον Ζωοδότην, τον λύσαντα Παρθένε, την λύπην της Προμήτορος.

Νυν απολύεις, το Τρισάγιον, το Απολυτίκιον εκ το Μεγάλου Εσπερινού και Απόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το, Κύριε, εκέκραξα, ιστώμεν στίχους στ’ και ψάλλομεν τα εξής Προσόμοια του Αγίου.

Ήχος α’ . Ώ του παραδόξου θαύματος!

Ώ του παραδόξου θαύματος! Πώς εν γήρα στερρώς, ο σοφός Γρηγόριος, ο μέγας αρχιερεύς, και ενθεώτατος, εκδέδωκεν εαυτόν, υπέρ της ποίμνης προθύμως εις θάνατον, μιμούμενος τον Χριστόν, μη δειλιάσας εχθρόν φρυαττόμενον. Όθεν την αγίαν τούτου, μνήμην εορτάσωμεν, ορθοδόξων οι δήμοι, τω Σωτήρι αίνον άδοντες.

Βαβαί της σης προμηθείας Χριστέ! Συ γαρ Γρηγορίου, του σεπτού ανέσωσας, θαλάσσης εκ του βυθού, σκήνος το άγιον, και τούτο μετά τιμής, εις Οδησσόν συγκομίσαι ηυδόκησας, εις έλεγχον των εχθρών, και ευφροσύνην ημών και κραταίωμα. Όθεν σου την

ευσπλαγχνίαν, Δέσποτα δοξάζομεν, δι’ ης κόσμω παρέχεις, ιλασμόν κα μέγα έλεος.

Την σην γεραίρομεν άθλησιν, δι’ ης ως θυσία, καθαρά και άμωμος, προσήχθης τω Λυτρωτή, Πάτερ Γρηγόριε, και δύναμιν και ισχύν, τω Χριστωνύμω πληρώματι δέδωκας, εκλείποντι τη μακρά, των εκ της Άγαρ δουλεία και στένοντι, και την σην αγίαν μνήμην, ευφροσύνως άγομεν, πρεσβευτήν κεκτημένοι, προς τον Κτίστην σε θερμότατον.

Προσόμοια έτερα.

Ήχος δ’. Ως γενναίον εν Μάρτυσι.

Ως ποιμένα πανάριστον, και Μαρτύρων ομότροπον, ιερέ Γρηγόριε ευφημούμέν σε˙ ότι θανείν προτετίμηκας, υπέρ των προβάτων σου, και εχθρού του δυσμενούς, την οφρύν και το φρύαγμα κατεπάτησας˙ δια τούτο στεφάνω αφθαρσίας, ως κλεινός Ιερομάρτυς, παρά Χριστού εστεφάνωσαι.

Γηραλέω εν σώματι, και ανδρείω φρονήματι, την αγχόνην ήνεγκας Πάτερ Όσιε, και λαμπροτέραν ανέδειξας, τοις θείοις σου σκάμμασι, την στολήν την ιεράν, Γρηγόριε, και ανέδραμες, προς ναόν τον ουράνιον εν δόξη, ως λαμπρός Ιερομάρτυς, και πρεσβευτής των ψυχών ημών.

Δημητσάνης το βλάστημα, Βυζαντίου τον πρόεδρον, αρετών το ένθεον ενδιαίτημα, Πατριαρχών το αγλάισμα, μαρτύρων το καύχημα και φωστήρα τον λαμπρόν, και της πίστεως έρεισμα,

ευφημήσωμεν, χαίρε λέγοντες τούτω εκ καρδίας, ημών καύχημα και δόξα, Ιερομάρτυς Γρηγόριε.

Δόξα. Ήχος πλ. β’.

Σήμερον της εν Χριστώ ελευθερίας την χάριν προφαίνουσα, η του Ιερομάρτυρος Γρηγορίου, μνήμη ανέτειλε, την Εκκλησίαν πυρσεύουσα˙ δεύτε ουν, λευχειμονούντες ταις πράξεσι, πνευματικώς εορτάσωμεν, φαιδρώς βοώντες˙ χαίροις ο εκ νεότητος Θεώ ανατεθείς, και ιερωσύνη εμπρέψας, ως Ιεράρχης όσιος˙ χαίροις ο των παθών του Χριστού κοινωνήσας, και της βασιλείας αυτού, αγλαϊσθείς τη δόξη˙ χαίροις πατριαρχών καλλονή, Μαρτύρων ισότιμε, και της Ορθοδοξίας γέρας ουράνιον. Άλλ’ ώ παμμάκαρ Γρηγόριε, τω της μεγαλωσύνης θρόνω παριστάμενος, απαύστως πρέσβευε, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον. Ο αυτός.

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; Τις μη ανυμνήσει σου, τον αλόχευτον τόκον; Ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι’ ημάς˙ ουκ εις δυάδα προσώπων τεμνόμενος, άλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος˙ Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος, Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα (Κεφ. γ'. 13).

Μνήμη δικαίου μετ' εγκωμίων, και ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ος εύρε σοφίαν, και θνητός, ος είδε φρόνησιν. Κρείσσον γαρ αυτήν εμπορεύεσθαι, ή χρυσίου και αργυρίου θησαυρούς. Τιμιωτέρα δε εστί πολυτελών˙ ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν˙ εύγνωστός εστί πάσι τοις εγγίζουσι αυτήν˙ πάν δε τίμιον, ουκ άξιον αυτής εστίν. Εκ γαρ του στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δε και έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γαρ ερώ˙ και μακάριος άνθρωπος, ος τας εμάς οδούς φυλάξει. Αι γαρ έξοδοί μου, έξοδοι ζωής, και ετοιμάζεται θέλησις παρά Κυρίου. Δια τούτο παρακαλώ υμάς, και προΐεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν και γνώσιν και έννοιαν, εγώ επεκαλεσάμην. Εμή βουλή και ασφάλεια, εμή φρόνησις, εμή δε ισχύς. Εγώ τους εμέ φιλούντας, αγαπώ, οι δε εμέ ζητούντες, ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δε απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου και πάλιν, σεμνά γαρ ερώ, και ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγένα δε εναντίον εμού χείλη ψευδή. Μετά δικαιοσύνης πάντα τα ρήματα του στόματός μου˙ ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοις νοσούσι, και ορθά τοις ευρίσκουσι γνώσιν. Διδάσκω γαρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, και πλησθήσεσθε Πνεύματος.

Προφητείας Ησαΐου το Ανάγνωσμα (Κεφ. μγ’ 9).

Τάδε λέγει Κύριος˙ Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τίς αναγγελεί ταύτα εν αυτοίς; Ή τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην˙ ίνα γνώτε και πιστεύσητε, και συνήτε, ότι εγώ ειμί. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ’ εμέ ουκ έσται. Εγώ ειμί ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος˙ Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός˙ ότι απ’ αρχής εγώ ειμί, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, κα τίς αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνσωσμα (Κεφ. γ’ 1).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι και ελογίσθη κάκωσις η έξοδος αυτών και η αφ’ ημών πορεία σύντιμμα˙ οι δε εισίν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται. Ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη

διαδραμούνται. Κρινούσιν έθνη, και κρατήρουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ' αυτόν συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ˙ ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν. Ιδιόμελα.

Ήχος α'.

Ευφραίνου εν Κυρίω, η Μεγάλη Εκκλησία, τη Ορθοδοξία σεμνυνομένη, και τω αίματι του μαρτυρίου εστολισμένη˙ ο γαρ θείος Γρηγόριος, ο μέγας του Βυζαντίου ποιμήν, και πάσης Ορθοδοξίας οφθαλμός, τη καλή ομολογία τειχίζων σε, την ψυχήν υπέρ σου τίθησιν, ως αν βαστάση πιστώς, τον Σταυρόν του Κυρίου. Όθεν αυτού αγαμένη το υπέρ της αληθείας μαρτύριον, τω Σωτήρι βόησον˙ Κύριε, ταις του Ιερομάρτυρος πρεσβείαις, εξ εχθρών επιθέσεως, αβλαβείς τους ορθοδόξους φύλαττε, και σώσον τας ψυχάς ημών.

Ήχος β'.

Θεοπρεπεί πολιτεία εμπρέπων, Ιεράρχης όσιος και δίκαιος, τη θεία ψήφω πέφηνας, θεηγόρε Γρηγόριε˙ και φερωνύμως διεξάγων, ευσεβείας δικαιώμασι, της Εκκλησίας το πλήρωμα, Θεώ ευηρέστησας˙ ένθεν Μαρτύρων ηξίωσαι, υπελθείν τον αγώνα, μηδαμώς υποπτήξας, του εχθρού την δύναμιν˙ και νυν Μαρτύρων τη δόξη, ως νομίμως αθλήσας δοξασθείς, μη παύση δεόμενος υπέρ των τιμώντων σε.

Ήχος γ’.

Τω λόγω της χάριτος, των πιστών τρέφων τας ψυχάς, και τοις έργοις της πίστεως, τούτων παιδεύων το φρόνημα, κυβερνήτης άριστος, εν καιρώ δουλείας χαλεπής, της Εκκλησίας ώφθης, Ιεράρχα Γρηγόριε˙ και τον υπέρ ταύτης θάνατον, οία ποιμήν καλός, σοφώς δεξάμενος˙ στερρώς αντικατέστης, τω δυσσεβεί εχθρώ και αλάστορι. Όθεν η άθλησίς σου Πάτερ, τοις εν αιχμαλωσία τελούσι και στένουσι, παραμυθία γέγονε, και ισχύς παρακλήσεως, της εν Χριστώ ελευθερίας, τα αγαθά υπεμφαίνουσα. Άλλ’ ως Ιερομάρτυς αξιάγαστε, τω Βασιλεί των όλων πρέσβευε, ρύεσθαι ημάς πάσης θλίψεως.

Ήχος δ’.

Τω της αγχόνης θανάτω μαρτυρικής ευκλείας εκοινώνησας, ως θεράπων Χριστού, Γρηγόριε ένδοξε˙ ένθεν θεόθεν δοξαζόμενος, αλώβητον δέδοται εκ θαλάσσης βυθού, παραδόξω τρόπω, το αθλητικόν σου σώμα, τοις σε ποθούσι Πάτερ˙ ου γαρ έδει τούτο κρύπτεσθαι, χαριτωθέν τω πνεύματι, τω της αφανείας μοδίω, άλλ’ επί λυχνίαν τεθήναι, εις αγιασμόν κα ευφροσύνην ημών˙ όθεν τούτο πλουτούσα, η των Αθηνών ευκλεής Μητρόπολις, πάντας συγκαλείται προς μετουσίαν της χάριτος, ήν αεί παρέχεις, ταις προς Χριστόν πρεσβείαις σου.

Δόξα. Ο αυτός.

Εν ιεράρχαις περιφανώς διέπρεψας, και εν αθλητικώ σκάμματι, των παθών του Χριστού, μάρτυς ώφθης ευκλεής, παμμάκαρ

Γρηγόριε˙ όθεν εν αμφοτέροις δόκιμος φανείς, της βασιλείας του Χριστού τας ελλάμψεις επλούτησας, της ουρανίου δόξης, επαξίως μετασχών. Διο η Εκκλησία, ασματικώς γεραίρει σε, και εξαιρέτως, η πάτριος χθων, μεγαλοφώνως τιμά σε˙ ην ουρανόθεν ευλόγει, ειρήνην αυτή αιτούμενος, και το θείον έλεος.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων, τους δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, την ελπίδα των ψυχών ημών.

Εις τον Στίχον. Στιχηρά Προσόμοια.

Ήχος πλ. α’. Χαίροις ασκητικών.

Χαίροις ο Βυζαντίου ποιμήν, Πελοποννήσου ο βλαστός ο περίδοξος, συμπάσης της Εκκλησίας, ο διαυγής οφθαλμός, των Αρχιποιμένων εγκαλλώπισμα, Γρηγόριε ένδοξε, Εκκλησίας υπέρμαχε, ο φερωνύμως, γρηγορήσας εν πράξεσι, βίου κρείττονος, οία μύστης της χάριτος˙ σκεύος το πολυτίμητον, φωτός θείου Πνεύματος, των κλονουμένων η βάσις, των ορθοδόξων εδραίωμα. Χριστόν εκδυσώπει, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Χαίρων εν ευφροσύνη πολλή, ως του Σωτήρος μιμητής και ακόλουθος, εδέξω του μαρτυρίου, ακαταπλήκτω ψυχή, τον καλόν αγώνα Πάτερ Όσιε˙ εντεύθεν υπέμεινας, αικισμούς τε κα σκώμματα, και δι’ αγχόνης τον επώδυνον θάνατον, του Παντάνακτος, μεγαλύνων το όνομα. Όθεν προς την αθάνατον, ζωήν

μεταβέβηκας, της αληθούς τυχών δόξης, Ιερομάρτυς Γρηγόριε, απαύστως πρεσβεύων, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Στίχ. Οι ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην...

Στέφος δικαιοσύνης λαβών, παρά του πάντων Βασιλεύοντος Άγιε, ως θείος Ιερομάρτυς, τοις απ' αιώνος χοροίς, των Αγίων Πάτερ συνηρίθμησαι, το θείον δε σώμά σου, θαυμαστώς ανασέσωσται, βυθού θαλάσσης, και εις χώραν ομόδοξον, τιμής μείζονος, ηξιώθη Γρηγόριε˙ όθεν ώσπερ αγίασμα, και θείον κειμήλιον, τούτο ημείς κεκτημένοι, εν ευλαβεία φυλάττομεν, Χριστόν ανυμνούντες, δια σου ημίν διδόντα, το θείον έλεος.

Δόξα. Ήχος πλ. δ'.

Τη αγχόνη αιωθηθείς, ως εν Σταυρώ ο Χριστός, της εικόνος αυτού σύμμορφος, ανεδείχθης Γρηγόριε˙ εν γαρ λόγω αληθείας, την Εκκλησίαν στηρίζων, αρχήν ελπίδος αγαθής, τοις πιστοίς ενέθου, πικρά δουλεία συνεχομένοις. Και νυν της αιωνίου ζωής, εν ουρανοίς κατατρυφών, μη παύση πρεσβεύων, υπέρ ταύτης της μερίδος σου, Ιερομάρτυς μακάριε.

Και νυν. Θεοτοκίον.

Ανύμφευτε Παρθένε, η τον Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού του υψίστου, σων οικετών παρακλήσεις δέχου Πανάμωμε˙ η πάσι χορηγούσα καθαρισμόν των πταισμάτων, νυν τας ημών ικεσίας προσδεχομένη, δυσώπει, σωθήναι πάντας ημάς.

Νυν απολύεις, το Τρισάγιον, και τα Απολυτίκια.

Ήχος δ'. Ταχύ προκατάλαβε.

Οσίως ιέρευσας, τω επί πάντων Θεώ, και θύμα ευπρόσδεκτον, ως εναθλήσας καλώς, Χριστώ προσενήνεξαι. Όθεν η ση αγχόνη, αληθώς ανεδείχθη, κλίμαξ δι’ ης ανέβης εις ουράνιον ύψος˙ διο Ιερομάρτυς Γρηγόριε τιμώμέν σε.

Έτερον. Ήχος α’. Της ερήμου πολίτης.

Δημητσάνης τον γόνον Βυζαντίου τον πρόεδρον, και της Εκκλησίας απάσης, γέρας θείον και καύχημα, Γρηγόριον τιμήσωμεν πιστοί, ως Μάρτυρα Χριστού πανευκλεή, ίνα λάβωμεν πταισμάτων τον ιλασμόν, παρά Θεού κραυγάζοντες˙ Δόξα τω δεδωκότι σοι ισχύν, δόξα τω σε στεφανώσαντι, δόξα τω εν ευκλεία ουρανών, δοξάσαντί σε Άγιε.

Θεοτοκίον.

Του Γαβριήλ φθεγξαμένου σοι Παρθένε το Χαίρε, συν τη φωνή εσαρκούτο, ο των όλων Δεσπότης˙ εν σοι τη αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυΐδ˙ εδείχθης πλατυτέρα των ουρανών, βαστάσασα τον Κτίστην σου. Δόξα τω ενοικήσαντι εν σοι˙ δόξα τω προελθόντι εκ σου˙ δόξα τω ελευθερώσαντι ημάς, δια του τόκου σου.

Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α’ Στιχολογίαν, Κάθισμα. Ήχος α’ Τον τάφον σου Σωτήρ.

Ως έαρ νοητόν, τη του έαρος ώρα, η μνήμη σου ημίν, η αγία επέστη, ενθέως κατευφραίνουσα, των πιστών την διάνοιαν, εν η

χαίροντες, Ιερομάρτυς Κυρίου, ευφημούμέν σε, ως προς Θεόν ημών πρέσβυν, Γρηγόριε ένδοξε.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον, όμοιον.

Εκύησας σαρκί, τον υπέρθεον Λόγον, θεώσαντα Αγνή, των βροτών την ουσίαν, και άπασι παρέχοντα, σωτηρίαν αιώνιον, τοις δοξάζουσι, σε αληθή Θεοτόκον. Αλλά Δέσποινα, μη διαλίπης πρεσβεύειν, υπέρ  των υμνούντων σε.

Μετά την β' Στιχολογίαν, Κάθισμα.Ήχος γ'. Θείας πίστεως.

---

Χαίρων ήνεγκας, τον δι' αγχόνης, πικρόν θάνατον, ανδρεία γνώμη, Ιεράρχα Κυρίου Γρηγόριε˙ και του Σωτήρος πιών το ποτήριον, της βασιλείας αυτού ώφθης μέτοχος. Αλλά πρέσβευε, δοθήναι τοις σε γεραίρουσι, πταισμάτων ιλασμόν και μέγα έλεος.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον, όμοιον.

Χορός άγιος, των Προφητών σε προεκήρυττε, δια συμβόλων, και ποικίλων αινιγμάτων πανάχραντε˙ ών τας εκβάσεις ημείς άρτι βλέποντες, σε αληθή Θεοτόκον κηρύττομεν, Κόρη Πάναγνε, υμνούντες τα μεγαλειά σου˙δι' ων της πάλαι δόξης ηξιώθημεν.

Μετά τον Πολυέλεον, Κάθισμα.

Ήχος πλ. δ' Την Σοφίαν και Λόγον.

Γρηγορών εν τω νόμω τω του Θεού, Ιεράρχης εδείχθης περιφανής, και την βασιλεύουσαν, ορθοδόξως εποίμανας, και Εκκλησίας πάσης, υπέρμαχος πέφηνας, εν ευσεβείας έργοις, κοσμήσας τον βίον σου˙ όθεν υπ' ανόμων, ανδρικώς απεκτάνθης, υπέρ του ποιμνίου σου, και Μαρτύρων ισότιμος, ανεδείχθης Γρηγόριε.

Πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Δόξα. Το αυτό. Και νυν. Θεοτοκίον, όμοιον.

Τον Θεόν συλλαβούσα υπερφυώς, και εν ύλη τεκούσα τη των βροτών, μηδόλως δεξάμενον, εν τω τίκτεσθαι σύγχυσιν, άλλ' ο ην προ του τόκου τηρήσαντα άτρεπτον, και τρέψαντα εις τέλος φοράς την επίχυσιν, ώφθης πλατυτέρα, ουρανών Θεοτόκε, και άφθορος έμεινας, ως ης προ της κυήσεως˙ δια τούτο βοώμέν σοι˙ Πρέσβευε τω σω Υιώ και Θεώ, των πταισμάτων δούναι την συγχώρησιν, τοις ανυμνούσι Παρθένε, τον άφραστον τόκον σου.

Οι Αναβαθμοί,το α'Αντίφωνον του δ'ήχου και το Προκείμενον. Ήχος δ'.

Στίχ. Τίμιος εναντίον Κυρίου ...

Ευαγγέλιον το του Αγίου Χρυσοστόμου (ζήτει τη ιγ' Νοεμβρίου).

Ο Ν' Ψαλμός.

Δόξα. Ταις του Ιεράρχου...

Και νυν. Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β'.

Στίχ. Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου...

Της ευσεβείας την οδόν ανύων, μαρτυρικώ τέλει τον βίον σφραγίσας, θεηγόρε Γρηγόριε˙ ταις θείαις γαρ κοσμούμενος αρεταίς, του Χριστού τοις στίγμασιν εκαλλωπίσθης, και Ιερομάρτυς ώφθης περίδοξος. Άλλ' ως έχων παρρησίαν ικέτευε, σώζεσθαι τους σε μακαρίζοντας.

Είτα οι Κανόνες της Θεοτόκου και του Αγίου.

Κανών της Θεοτόκου. Ποίημα Αγίου Ανδρέου Κρήτης.

Ωδή α’. Ήχος α’. Ο Ειρμός.

Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τω ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, και σώσαντι τον Ισραήλ, ότι δεδόξασται.

Ωδήν παρακλήσεως τη Θεοτόκω, πιστοί προσενέγκωμεν, ιλασμόν αιτούμενοι, των εγκλημάτων ημών, και του εχθρού αποφυγήν και σωτηρίαν ημών.

Ελέους την άβυσσον η τετοκυία, ελέησον οίκτειρον, την εμήν ασθένειαν, Θεοχαρίτωτε, και χειραγώγησον προς το φως της κατανύξεως.

Υψώθην ο άθλιος τη απονοία, αρθείς τω φρονήματι, και εις βόθρον πέπτωκα, των παραπτώσεων, τη μετανοία με Αγνή πάλιν ανόρθωσον.

Μυρίοις εγκλήμασιν αμαρτημάτων, βαρούμενος Άχραντε, σοι προσπίπτω δέξαι με, μετανοούντα θερμώς, και ίλεών μοι τον κριτήν ποίησον Δέσποινα.

Κανών του Αγίου, ου η ακροστιχίς˙

Υμνώ σε, Γρηγόριε Ιερομάρτυς. Γερασίμου.

Ωδή α’. Ήχος α’. Αναστάσεως

Υπερούσιε Θεότης, αγαθών η πηγή, Πάτερ Υιέ και Πνεύμα, λόγον μοι δίδου δυσωπώ, Γρηγορίου του κλεινού, υμνήσαι φαιδρώς, την μνήμην Φιλάνθρωπε, την αγίαν και εύσημον.

Μέγας ώφθης Ιεράρχης, και ποιμήν αληθής, Πάτερ της Εκκλησίας, βίω εμπρέπων ιερώ, και αθλήσας ευσεβώς, Χριστού του Θεού, το πάθος εδόξασας, θεορρήμον Γρηγόριε.

Νόμου θείου τη μελέτη, εντρυφών εκ παιδός, Πάτερ θερμώς προκρίνεις, ζυγόν τον θείον του Χριστού, και σοφίας τω φωτί, τον νουν λαμπρυνθείς, επλήσθης Γρηγόριε, επιπνοίας της κρείττονος.

Θεοτοκίον.

Ως τεκούσα τον Σωτήρα, και Θεόν του παντός, Κόρη ανερμηνεύτως, εκαινοποίησας ημών, την φθαρείσαν εν Αδάμ, ουσίαν Αγνή˙ διο ως αιτίαν σε, σωτηρίας δοξάζομεν.

Της Θεοτόκου. Ωδή γ'.

Στερεωθήτω η καρδία μου, εις το θέλημά Σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν, στερεώσας τον δεύτερον, και εδράσας εν τοις ύδασι, την γην Παντοδύναμε.

Ο πλημμελήσας υπέρ άπαντας, τους ανθρώπους μόνος εγώ ειμί˙ και δια τούτό σοι βοώ, Παναμώμητε Δέσποινα, βοηθήσαι τω οικέτη σου, λαβείν την συγχώρησιν.

Βεβαρημένον τοις παθήμασι, και ταις τρικυμίαις ποντούμενον, ο δολιόφρων Αγαθή, εφερπύζει αρπάσαι με˙ αλλά ρύσαι και ανάγαγε, προς φως μετανοίας με.

Εγώ υπάρχω κόρη Πάναγνε, δένδρον το σαπρόν φευ και άκαρπον, όπερ ποιήσαί με καρπόν, καλόν θείον παράσχου μοι, και έμπλησαί με της χάριτος, Χριστού και γλυκύτητος.

Δείξόν μοι τρίβον την σωτήριον, δι’ ης βασιλείαν ουράνιον, κληρονομήσω Αγαθή, ο ανάξιος δούλός σου, και ακούσω την τρισάγιον, ωδήν αγαλλόμενος.

Του Αγίου. Ωδή γ’. Δεύτε πόμα πίωμεν.

Σκεύος ουρανίων αρετών, τη ναμέμπτω ζωή σου Πάτερ γενόμενος, της των Σμυρναίων σεπτής, ποιμήν Εκκλησίας ευκλεής, εδείχθης Γρηγόριε.

Έλαμψας ως λύχνος φαεινός, οικουμένη απάση Πάτερ Γρηγόριε, αρχιεράρχης σοφός, και πρόεδρος μέγας γεγονώς, της Κωνσταντινουπόλεως.

Γλώσση θεοσόφω οδηγών, επί τρίβους τας θείας Πάτερ την ποίμνην σου, μαρτυρικώς εναθλείς , και μάρτυς εδείχθης αληθής, της πίστεως Όσιε.

Θεοτοκίον.

Ράβδος αγιόβλαστος συ ει, ανηρότως ως άνθος αναβλαστήσασα, τον φυτουργόν της ζωής, Παρθένε Χριστόν τον Λυτρωτήν, ημάς διασώζοντα.

Κάθισμα. Ήχος δ’. Ταχύ προκατάλαβε.

Ποιμήν ενθεώτατος, και Ιεράρχης σοφός, υπάρχων Γρηγόριε, της Εκκλησίας Χριστού, νομίμως ηγώνισαι˙ όθεν του μαρτυρίου, δεδεγμένος το στέφος, πρέσβευε τω Κυρίω, πάσης ρύεσθαι βλάβης, τους πόθω εορτάζοντας, την αγίαν μνήμην σου.

Θεοτοκίον, όμοιον.

Τον Λόγον συνέλαβες, του προανάρχου Πατρός, και τούτον γεγένηκας, δι’ ευσπλαγχνίαν πολλήν, Αγνή μετά σώματος. Όθεν τη ση κυήσει των ανθρώπων το γένος, λέλυται της αρχαίας, του Αδάμ καταδίκης˙ ένθεν οι σεσωσμένοι, υμνούμέν σε Άχραντε.

Της Θεοτόκου. Ωδή δ’.

Εισακήκοα Κύριε την ακοήν σου, και εφοβήθην˙ κατενόησα τα έργα σου, ο Προφήτης έλεγε, και εδόξασά σου την δύναμιν.

Νοητοί ώσπερ γίγαντες, τρεις των παθών με κατατροπούνται˙ ακηδία λήθη άγνοια˙ αλλά συ Θεόνυμφε, η βοηθός μου τούτους κατάβαλε.

Γαυριώντι φρονήματα, και επηρμένη η διανοία, εκτετέλεκα τον βίον μου˙ αλλά συ ταπείνωσιν, Θεοκυήτορ δίδου και σώσόν με.

Ρυπωθείς κατεμόλυνα, ταις ασωτείαις την ψυχήν μου˙ των δαιμόνων καταγώγιον, γεγονώς ο δείλαιος, Πάναγνε Μαρία καθάρισον.

Παναγία Θεόνυμφε, παραμυθία των θλιβομένων˙ των βροτών το καταφύγιον, των πιστών το στήριγμα, σώσόν με τον δούλόν σου δέομαι.

Του Αγίου. Ωδή δ’. Επί της θείας φυλακής.

---

Ήθλησας Πάτερ ανδρικώς, οία ποιμήν αληθινός, και του αλαζόνος τυράννου, την οφρύν κατέσπασας, υπενεγκών στερρότατα, Γρηγόριε σοφέ την αγχόνην, απαγχονίσας εχθρόν τον πολυμήχανον.

Γνώμη ευθεία και στερρά, υπερορίαις ομιλείς, οία των Πατέρων των πάλαι, μιμητής Γρηγόριε, και χαίρων εν τω Άθωνι, παρώκησας Θεόν θεραπεύων, ασκητικοίς αγωνίσμασι μακάριε.

Ο Βυζαντίου ευκλεής, και θεοφόρητος ποιμήν και της Εκκλησίας απάσης το μέγα καλλώπισμα, Γρηγόριος ο ένδοξος, ο νέος Χριστού Ιερομάρτυς, ανευφημείσθω ενθέοις μελωδήμασι.

Θεοτοκίον.

Ρύσαι ημάς της του εχθρού, επιβουλής τε και ορμής, τη ση κραταιά προστασία, Κόρη πανευλόγητε, και φέγγει τω της χάριτος, καταύγασον ημών τας καρδίας, ως αν τω φόβω Κυρίου πορευσώμεθα.

Της Θεοτόκου. Ωδή ε'.

Την σην ειρήνην δος ημίν, Υιέ του Θεού˙ άλλον γαρ εκτός σου Θεόν ου γινώσκομεν το όνομά σου ονομάζομεν, ότι Θεός ζώντων, και των νεκρών υπάρχεις.

Τραχείαν δι' ασκήσεως οδόν αρετής, βαίνειν με Παρθένε ράον ευόδωσον, όπως τα πάθη κατευνάσαιμι, και απαθείας ίδω τον γαληνόν λιμένα.

Σε μόνην καταφύγιον πλουτούμεν Αγνή, πάντες οι Θεόν κακώς παροργίσαντες, και αμαρτίαις βαρυνόμενοι, όπως σαις πρεσβείαις αυτώ ιλεωθώμεν.

Νηστείαις και δεήσεσι ποτέ Νινευΐ, ίλεων αυτή τον νόμον φιλάνθρωπον, τη μετανοία απειργάσατο˙ εγώ δε Θεομήτορ προς σε νυν καταφεύγω.

Φθείρας την θείαν στολήν του βαπτίσματος, άλλος ουκ έστιν ως εγώ ο παμβέβηλος! Διο βοώ σοι μη παρίδης με, αλλά σώσον Κόρη τον σον αχρείον δούλον.

Του Αγίου. Ωδή ε'. Ορθρίσωμεν όρθρου βαθέος.

Ιέρευσας Πάτερ οσίως, και ώσπερ τέλειον θαύμα, προσήχθης Χριστώ εν τέλει, αθλήσας εννομώτατα, Γρηγόριε μακάριε˙ όθεν αξίως δεδόξασαι.

Επήρθη το σώμά σου Πάτερ, Αγαρηνών τη προστάξει, ανδρείως εν τη αγχόνη, το δε θείον πνεύμά σου, υψώθη και κατέπαυσε, δήμοις των Αγίων Γρηγόριε.

Ικρίω Χριστός εν επάγη, συ δε αρθείς τη αγχόνη, του πάθους αυτού εδείχθης, μιμητής πανάριστος˙ διο και της εγέρσεως, τούτου εκοινώνησας Όσιε.

Θεοτοκίον.

Εκ σου εσαρκώθη ως οίδεν, ο ουσιώσσας τα όντα, τω λόγω εκ του μη όντος, και τον κόσμον σέσωκε, Παρθένε Αειπάρθενε, ο Σωτήρ των όλων και Κύριος.

Της Θεοτόκου. Ωδή ς'.

Τον Προφήτην Ιωνάν, εκμιμούμενος βοώ˙ Την ζωήν μου Αγαθέ, ελευθέρωσον φθοράς, και σώσόν με, Σωτήρ του κόσμου, κράζοντα˙ Δόξα σοι.

Τας αιτίας των παθών, ουκ εκκόπτω παντελώς, και απάθειαν ζητώ, εν ευχαίς διηνεκώς, Πανύμνητε˙ την πώρωσίν μου λύσον και σώσόν με.

Υπερέβην αληθώς, Σοδομίτας αισχρουργών, και πτοούμαι μη το πυρ, δαπανήση με εκεί, Θεόνυμφε˙ της τούτου πείρας, ρύσαι και σώσόν με.

Στένω τρέμω και βοώ, μη παρίδης με Αγνή, τον εις πάθη ολικώς, εμπεσόντα χαλεπά, άλλ’ οίκτειρον˙ και προς μετάνοιαν χειραγώγησον.

Ζώντα φρούρει με αεί, λυτρουμένη πειρασμών, εκχωρούντα δε της γης, προς αιώνιον ζωήν οδήγησον, Παρθενομήτορ τη ευσπλαγχνία σου.

Του Αγίου. Ωδή ς’. Κατήλθες εν τοις κατωτάτοις.

Ριφέν σου, Πάτερ θαλασσίοις μυχοίς, Ιεράρχα το πανέντιμον σώμα, προνοία του των απάντων Θεού, διασέσωσται, και εδόθη τοις πιστοίς, ως θησαύρισμα θείον.

Ον πριν μεν, οι της δυσσεβείας υιοί, ως κατάκριτον αγχόνη ανείλον, τον μέγαν αρχιερέα Θεού, νυν ο Κύριος, μεγαλύνει θαυμαστώς αφθαρσίας στεφάνω.

Μανία, Πάτερ συσχεθέντες δεινή, σου το άγιον Γρηγόριε σώμα, εφ’ ύβρει, οι δυσσεβούντες εχθροί, περιέσυρον, ταις της πόλεως οδοίς, το αιδέσιμον πάσι.

Θεοτοκίον.

Αφράστως, τον Δημιουργόν του παντός, εξ αγνών σου τετοκυία αιμάτων, ανείλες την των ανθρώπων αράν, Πανευλόγητε, και ανήγαγες ημάς, προς την πρώτην αξίαν.

Κοντάκιον. Ήχος γ’. Η Παρθένος σήμερον.

Ιεράρχης ένθεος, γεγενημένος θεόφρον, την αγχόνην ήνεγκας, υπέρ της ποίμνης σου χαίρων. Όθεν σου, τω μαρτυρίω εγκαυχωμένη, σήμερον η Εκκλησία πανηγυρίζει, και το χαίρέ σοι κραυγάζει, Ιερομάρτυς Πάτερ Γρηγόριε.

Ο οίκος.

Ευαγγελίου ταις οδοίς, ευθύνας σου τον βίον, ιεραρχίας την στολήν, περιεβάλου ευπρεπώς, τη θεία προμηθεία˙ και της εν Βυζαντίω Αγίας Εκκλησίας εγχειρισθείς τους οίακας, καλώς ταύτην εκυβέρνησας, Πάτερ, και απλανώς ίθυνας τω θελήματι του Κυρίου, χειμαζομένην χαλεπώς, σφοδρώ κλύδωνι μακροχρονίου δουλείας, και αντιπνοίαις παντοίαις τυραννικής μανίας και ιταμότητος˙ ως γαρ ποιμήν καλός, και μιμητής του αρχιποίμενος Χριστού, υπέρ ταύτης την ψυχήν σου προθύμως τέθεικας, και την αγχόνην ανδρείως υπέμεινας, αθλήσας νομίμως, Ιερομάρτυς Γρηγόριε.

Συναξάριον.

Τη Ι’ του αυτού μηνός, μνήμη του Αγίου ενδόξου Ιερομάρτυρος Γρηγορίου Ε’, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχ. Ποιμήν ων καλός της Χριστού Εκκλησίας Υπέρ ταύτης τέθνηκας προθύμως, Πάτερ. Τη δεκάτη Γρηγόριος τέτληκε βρόχον θεία φρενί.

Της Θεοτόκου. Ωδή ζ'.

Η κάμινος Σωτήρ εδροσίζετο, οι Παίδες δε χορεύοντες έψαλλον˙ Ευλογητός ο Θεός, ο των Πατέρων ημών.

Νεφέλην σε γινώσκω Θεόνυμφε, τον ήλιον της δόξης κυήσασαν, φωταγωγούντα πάντα τα νυκτώδη μου εγκλήματα.

Ξηράνασα φυτά Θεονύμφευτε, των λογισμών και ατόπων μου πράξεων˙ αεί με εκβλαστάνειν, εναρέτους καρπούς ποίησον.

Γυμνός ειμί αρετών ενδύματος, και βάλλομαι του νυμφώνος πόρρωθεν˙ η τον Χριστόν τεκούσα, αφθαρσία με αμφίασον.

Μαστίζειν συνεχώς με ου παύεται, Παρθένε η συνείδησις ένδοθεν, αλλά απάλλαξόν με, τη ταχεία αντιλήψει σου.

Του Αγίου. Ωδή ζ'. Ο Παίδας εκ καμίνου.

Ριφέν εν τη θαλάσση τα σώμά σου, αλώβητον δέδοται, Πάτερ τοις πιστοίς, και εν τη πόλει Οδησσώ, κατ' αξίαν τετίμηται Άγιε, πιστών καθαγιάζον χορείας, τη ενοικούση χάριτι.

Τοις στίγμασι Χριστού σεμνυνόμενον, το άγιον σκήνός σου, ώσπερ θησαυρόν, πάσα η πόλις Οδησσός, υπεδέξατο Πάτερ Γρηγόριε, και τούτο ταφή δέδωκε θεία, πηγάζον χάριν άνωθεν.

Υπήλθες των Μαρτύρων την άθλησιν, εν γήρατι Όσιε, της εν τω Χριστώ, ελευθερίας εμφανώς, εκκαλύπτων τα θεία δωρήματα, δι' ων τους τη δουλεία της Άγαρ, στενάζοντας εστήριξας.

Θεοτοκίον.

Σαρκός ημίν φανείς ομοιώματι, εκ σου ο Υπέρθεος, πλούτω οικτιρμών, λύσιν παρέσχετο Αγνή, της αρχαίας κατάρας τοις

κράζουσιν˙ ανθρώπων χαίρε Παρθένε προστάτις, και μέγα καταφύγιον.

Της Θεοτόκου. Ωδή η'.

Ον φρίττουσιν Άγγελοι, και πάσαι στρατιαί, ως Κτίστην και Κύριον υμνείτε Ιερείς, δοξάσατε παίδες, ευλογείτε λαοί, και υπερυψούτε εις πάντας τους αιώνας.

Πώς κάθη αμέριμνος ταλαίπωρε ψυχή; Πώς λήθη παρέδωκας τας πράξεις τας αισχράς; Ανάπτυξον ταύτας τη μητρί του Θεού, ίνα μεσιτεύση τω εξ αυτής τεχθέντι.

Παρόμοιος γέγονα τω πάλαι Ισραήλ, κατατρέχων εμαυτού, ως άλλου Ισαάκ˙ διο της οικίας εκδιώκομαι, της Αβραμιαίας της άνω κληρουχίας.

Ξενώσας της άνωθεν πατρίδος εμαυτόν, εις ξένους κατήντησα πολίτας και ληστάς, σιτούμενος ξένην εδωδήν συφορβών˙ συ ουν Θεοτόκε ως το άσωτον σώσον.

Αγνείας διέρρηξα σφραγίδας αναιδώς, αγνείας η τέξασα Χριστόν τον φυτουργόν, αγνώς βιοτεύειν τον επίλοιπον, χρόνον της ζωής μου ποίησον Θεομήτορ.

Του Αγίου. Ωδή η' Αύτη η κλητή.

Γέρας Αθητών, ως αθλήσας νομίμως, Γρηγόριε θεόφρον, παρά Χριστού εκομίσω, ως πιστός ιερεύς, και Μαρτύρων ηριθμήθης συστήμασι, μεθ' ων εκδυσώπει, υπέρ των σε τιμώντων.

Έχει Αθηνών η Μητρόπολις Πάτερ, το ιερόν σου σκήνος, ώσπερ αγίασμα θείον αγιάζον αεί, των πιστών τας διανοίας Γρηγόριε˙ διο και γεραίρει, την ευκλεή σου μνήμην.

Ρώμην αληθή, ως ποιμήν θεοφόρος, παρέχεις τω σω λόγω, και υποδείγματι Πάτερ, τοις εν θλίψει πολλή, της δουλείας της μακράς πικρώς στένουσιν, ως αν της αλήκτου, τύχωσιν ευφροσύνης.

Θεοτοκίον.

Άχραντε Αγνή, Θεοτόκε Μαρία, η μόνη κόσμου σκέπη, και βασιλίς και κυρία, τον λαόν τον πιστόν, από πάσης περιφύλαττε θλίψεως, τη προς τον Υιόν σου, πρεσβεία μητρική σου.

Της Θεοτόκου. Ωδή θ’.

Την φωτοφόρον νεφέλην, εν η ο πάντων Δεσπότης, ως υετός εξ ουρανού, επί πόκον κατήλθε, και εσαρκώθη δι’ ημάς, γενόμενος άνθρωπος ο άναρχος, μεγαλύνωμεν πάντες, ως Μητέρα του Θεού ημών Αγνήν.

Μεγάλυνον ψυχή μου, την μόνην Θεοτόκον, την εν σαρκί τεκούσαν, Χριστόν και Βασιλέα.

Θεόν ιδείν ηξιώθη, ο Αβραάμ ως ην θέμις, φιλοξενίαν ησκηκώς, εγώ δε φειδωλίαν, μισοξενίαν εσχηκώς, εικότως απέρριμαι εις γέεναν˙ αλλά συ Θεοτόκε εξελού με, της κολάσεως εκεί.

Μεγάλυνον ψυχή μου, την δόξαν των Αγγέλων, και κόσμου προστασίαν, υπεραγίαν κόρην.

Ρείθροις δακρύων η πόρνη, Χριστού τα άχραντα ίχνη, εκμαξαμένη γοερώς, των πταισμάτων την λύσιν, εύρατο τάχιον Αγνή, εγώ δε προσπίπτων σοι εξ όλης μου, της καρδίας στενάζω και αιτούμαι, λυτρωθήναι των παθών.

Μεγάλυνον ψυχή μου, την Π άναγνον Παρθένον, την σώζουσαν κινδύνων, τους επικαλουμένους.

Νουν και ψυχήν και το σώμα, και τας λοιπάς μου αισθήσεις, σοι ανατίθημι Αγνή, διαφύλαξον σώα, εκ των βελών του πονηρού, και δος μοι κατάνυξιν του κλαύσασθαι, τα συμβάντα μοι πάθη ραθυμούντι, και βιούντι αμελώς.

Μεγάλυνον ψυχή μου, την νέμουσαν τοις πάσι, χαράν και ευφροσύνην, Παρθένον Θεοτόκον.

Εξ αμελείας εις λήθην, εις αφοβίαν εκ λήθης, εξ αφοβίας εις βυθόν, εμπεσών αμαρτίας, σοι Θεομήτορ εκβοώ, την χείρά μοι έκτεινον και σώσόν με, ώσπερ έσωσε Πέτρον ο Υιός σου, εκ θαλάσσης της πικράς.

Του Αγίου. Ωδή θ’. Φωτίζου, φωτίζου.

Μεγάλυνον ψυχή μου, τον ευκλεή ποιμενα, Γρηγόριον τον θείον αθλήσαντα νομίμως.

Συνόμιλος πέλων, των ευκλεών Πατριαρχών, και αγίων Μαρτύρων σύσκηνος Γρηγόριε, ως κοινωνός, εκατέρων στερρός, τον Ποιητήν, συν αυτοίς δυσώπει, σώζεσθαι πάντας πάσης θλίψεως.

Μεγάλυνον ψυχή μου, Γρηγόριον τον μέγαν, τον προσενεχθέντα ως θύμα τω Κυρίω.

Ιδού το σον έθνος, ο περιούσιος λαός, ον Χριστός τω ιδίω, αίματι εκτήσατο, θεία βουλή, της δουλείας ρυσθείς, άγει φαιδρώς, την σεπτήν σου, μνήμην, Ιερομάρτυς Γρηγόριε.

Μεγάλυνον ψυχή μυο, Πατριαρχών το κλέος, Γρηγόριον τον θείον τον σύσκηνον Αγγέλων.

Μεγίστης ευκλείας, εν ουρανοίς αξιωθείς, ως του πάθους Κυρίου μιμητής Γρηγόριε, και της ζωής, του καρπού μετασχών, αίτει ημίν, άφεσιν πταισμάτων, ταις προς Χριστόν Πάτερ πρεσβείαις σου.

Δόξα.

Μεγάλυνον ψυχή μου, την άναρχον Τριάδα, Πατέρα Λόγον Πνεύμα, την μίαν βασιλείαν.

Οδόν διανύσας, του μαρτυρίου ευσεβώς, και εχθρόν θριαμβεύσας, Πάτερ εν τω γήρατι, τας αμοιβάς, των σων πόνων σοφέ, εν ουρανοίς, δρέπη αιωνίως, δόξης πληρούμενος Γρηγόριε.

Και νυν. Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, την μόνην Θεοτόκον, δι’ ης των εν τω βίω λυτρούμεθα κινδύνων.

Υψίστου καθέδρα, και θρόνος ώφθης υψηλός, εν αγκάλαις κρατούσα τον τα πάντα φέροντα, Κόρη Αγνή, τη οικεία χειρί, ώ εκτενώς, πρέσβευε δοθήναι, ημίν πταισμάτων συγχώρησιν.

Εξαποστειλάριον. Σαρκί υπνώσας.

Σώμά σου Πάτερ το σεπτόν, εις θάνατον ως δέδωκας, ανέπτης ως νικηφόρος, Ιερομάρτυς τω Χριστώ, Γρηγόριε μακάριε, και δόξης της ουρανίου, αξίως μετέσχηκας.

Θεοτοκίον.

Σαρκί τεκούσα εξ αγνών, αιμάτων σου Θεόνυμφε, τον Κτίστην και Βασιλέα, ανακαλούμενον ημάς, προς την αρχαίαν εύκλειαν, της σωτηρίας πύλη, ημίν ώφθης πάμφωτος.

Εις τους Αίνους.

Ιστώμεν στίχους δ’ και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος α’. Πανεύφημοι Μάρτυρες.

Πάτερ Γρηγόριε Χριστού, μιμητής γενόμενος, ιεραρχίας εφαίδρυνας, το θείον ένδυμα, ευσεβείας έργοις, και Μαρτύρων στίγμασιν, αισχύνας τη ατρέπτω ενστάσει σου, εχθρόν τον βέβηλον˙ δια τούτο ουρανίου σε, ο Δεσπότης, δόξης κατηξίωσε.

Πάτερ Γρηγόριε στερρώς ,την αγχόνην ήνεγκας, υπέρ λαού του θεόφρονος, ποιμήν ως άριστος, και Χριστού το πάθος, το σεπτόν εδόξασας, διο και της αυτού υπέρ έννοιαν, δόξης μετέσχηκας, αιωνίως δοξαζόμενος, συν Μαρτύρων, τοις χοροίς μακάριε.

Πάτερ Γρηγόριε το σον, σώμα νεύσει κρείττονι, βυθού θαλάσσης αλώβητον πιστοίς δεδώρηται, και εν ευλαβεία, και ψυχής θερμότητι, εις πόλιν Οδησσόν μετενήνεκται, ένθα τετίμηται, ώσπερ άγιον θησαύρισμα, αγιάζον, πιστών τα πληρώματα.

Πάτερ Γρηγόριε σοφέ, Βυζαντίου πρόεδρε, Πατριαρχών εγκαλλώπισμα, Μαρτύρων σύσκηνε, της Ορθοδοξίας ένθεον αγλάισμα, μη παύση μεσιτεύων προς Κύριον, εκ πάσης θλίψεως, την απόλεκτον μερίδα σου, δυσωπούμεν, σώζεσθαι απήμαντον.

Δόξα. Ήχος πλ. α’.

Της εν Χριστώ ελευθερίας, μυσταγωγών τα αγαθά, αθλήσει τον βίον εσφράγισας, Ιεράρχα Γρηγόριε˙ θεοπρεπώς γαρ ηγωνίσω, και των πιστών το φρόνημα, ανδρείον απέδειξας, ως δόκιμος εργάτης, του μυστικού αμπελώνος. Διο τη ση μαρτυρία, η Εκκλησία γάννυται, και ο χριστώνυμος λαός, χαρμοσύνως άγει την μνήμην σου. Άλλ’ ώ Ιερομάρτυς ένδοξε, τω Σωτήρι πρέσβευε, υπέρ των τιμώντων σε.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Δοξολογία μεγάλη, και Απόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τα Τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος του Αγίου η γ’ και στ’ ωδή.Απόστολον και Ευαγγέλιον του Αγίου Χρυσοστόμου (13η Νομεβρίου). Κοινωνικόν˙ Εις μνημόσυνον αιώνιον…

Μεγαλυνάριον.

Χαίροις Βυζαντίου θείος ποιμήν˙ χαίροις Εκκλησίας εγκαλλώπισμα ιερόν, χαίροις Ιεράρχα, και Μάρτυς του Κυρίου, Γρηγόριε παμμάκαρ, Αγγέλων σύσκηνε.

Δίστιχον.

Γρηγόριε, ύμνησε σας αριστείας

Γεράσιμος, μέλψας σου την μαρτυρίαν.

